»γένεια, τὰ ὅπλα, ὁ πλοῦτος, ἡ παίδευσις, καὶ ὁ λοιπὸς τῶν »χαρίτων χορός, ἑλληνικῶν δὲ χαρίτων τὸ κλέος, βαρὺς ὤλεσεν »αἰών, βαρβαρικοῖς δαμάσας ἤθεσιν ἀγλαΐην, ὥς τις τῶν λογίων »ἀνδρῶν (Ἀντώνιος Ἔπαρχος οὗτος Κερκυραῖος) θρηνῶν τὴν Ἑλ-»λάδος καταστροφήν, ζυγὸν γουλείας (γρ. δουλείας) ἀκλεῶς ὑ-»ποφέρουσαν, ἔκλαυσε, στίχοις ἡρωελεγείοις δακρυχέων ὑπὲρ τοὺς »διακοσίους, ὧν ἡ ἀρχή.

Νῦν ὀλοφυδνῆς, Πιερίδες, νῦν ἄρχετ' ἀοιδῆς·
Δάκρυα νῦν, Ἑλικών, λεῖβ', ἄμοτον γοόων.
Νῦν Χάριτες, τρισσαὶ Ζηνὸς περικαλλέα τέκνα,
Ἑλλάδος οὐλομένην συντυχίην κλάετε.
Ἄθρει, Ζεῦ, περίσημον, ἄθρει γένος, οἷον ὀλεῖται.
Μύρεο σύν, Ἑλλάς, μύρεο δυσμορίας.

»Οὗτος καὶ πρὸς ὁμόνοιαν συντεινούσας ἐπιστολὰς θαυμασίας ἔ-»γραψε πρός τινας τῶν σοφῶν καὶ δυνατῶν, καὶ πρὸς Φίλιππον »Μελάγχθονα τὸν Γερμανόν· οὗ δὴ τὰ τοιαῦτα εἰ οὐκ ἐθεάσω, »πέμψω σοι, εἰ γράψεις· ἐν γὰρ τούτοις, τὰ Ἑλλάδος καὶ τοῦ »γένους, ὅσην εἶχεν εὐδαιμονίαν, καὶ ὅπῃ κακῶν ἦλθεν, ἀκού-»σεις τρανῶς.»

(44) — Ἄνθος Χαρίτων. Ἐνετίῃσιν, ἀναλώμασιν Ἀνδρέου τοῦ Κουνάδου. Venetiis, in aedibus fratrum de Sabio. 1546. εἰς 8ον.

(45) — Διήγησις εἰς τὰς πράξεις τοῦ περιβοήτου στρατηγοῦ τῶν Ῥωμαίων μεγάλου Βελισσαρίου. In Venetia, per Francesco Rampazzetto, l'anno del Signore M. D. L. IIII. εἰς 4ον.

(46) — Maximi Margunii, Episcopi Cytherensis, poëmata aliquot sacra, Graece, nunc primum publicata studio et opera Davidis Hoeschelii, A. M. E Bibliotheca reip. Augustanae. Lugduni Batavorum, ex officina Plantiniana CIↃ. IↃ. XCII, εἰς 12ον.

ΣΗΜΕΙΩΣΙΣ. Τὸ βιβλίον τοῦτο σύγκειται ἐξ 24 σελίδ. καὶ περιέχει διάφορα ᾄσματα, ἑλληνιστὶ συνταχθέντα ὑπὸ τοῦ σοφοῦ Μαργουνίου, καὶ παρ' αὐτοῦ σταλέντα εἰς τὸν πεπαιδευμένον Ἑλληνιστὴν φίλον του *Ἐσχέλιον*, ὅστις τὰ ἐτύπωσε, προσθέτων μόνον τὴν Λατινιστὶ ἐπιγραφὴν τῆς συλλογῆς ταύτης.